θρώπων λόγος. Ἔστι δὲ καὶ ἄλλος καὶ τοῖς ἄλλοις ζῴοις κοινός, ὅτι τὸ πλείους μιᾷ προσιέναι, ἢ τὸ ἀνάπαλιν, κωλύει τὸ μετ' ἐλευθερίας ἀπολαύειν τῆς ἡδονῆς, ὥσπερ ὅταν προσιόν τι ζῷον σιτίῳ ὑπ' ἄλλου κωλύοιτο ζῴου ἁρπάζοντος. Ἀλλὰ πρὸς μὲν τὸ μίαν γυναῖκα μὴ δεῖν ὑπ' ἀνδρῶν πλειόνων γινώσκεσθαι, ἑκάτερος λόγος συνεργεῖ· πρὸς δὲ τὸ ἕνα ἄνδρα μὴ πλείους γινώσκειν γυναῖκας, ὁ δεύτερος μόνον λόγος καὶ κοινός, ὁ δὲ f. 120 ἴδιος οὐδὲν προσίσταται· | οὐ γὰρ τότε τὸ περὶ τοῦ τέκνου κωλύεται θάρρος, ἀλλ' ἡ ἐλευθερία τῇ γυναικὶ ἀναιρεῖται, ἑνὸς πλείοσι προσιόντος γυναιξίν. Καὶ ἐπεὶ τὸ περὶ τῶν τέκνων θαρρεῖν προηγούμενόν ἐστιν τῶν ἐν τῷ γάμῳ ζητουμένων καλῶν, οὐδεὶς νόμος ἢ ἔθος ἀνθρώπινον συγχωρεῖ μίαν εἶναι πλειόνων γυναῖκα, ὥστε μηδὲ διὰ τὴν στείρωσιν ἐξεῖναι τὴν συνάφειαν διαλύεσθαι.

Ἐντεῦθέν ἐστι τὸ ἐν τῇ Γενέσει· „Καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν". Διὰ τούτων ἀποκλείεται τὸ πονηρὸν ἔθος τῶν ἐχόντων πλείους γυναῖκας, καὶ ἡ τοῦ Πλάτωνος δόξα περὶ τοῦ τὰς γυναῖκας δεῖν εἶναι κοινάς. Ὥπερ ἠκολούθησεν ἐν τῇ καινῇ Νικόλαος, εἷς τῶν ἑπτὰ διακόνων, ἐξ οὗ οἱ Νικολαῖται.

## CXXV. — Ὅτι ἐν τοῖς συγγενέσιν, οὐ δεῖ γίνεσθαι συνοικέσιον.

Ἐπεὶ γὰρ τὰ συγγενῆ διὰ τὸ ἐκ τῆς αὐτῆς ἀρχῆς εἶναι ὀφείλουσιν ἑαυτὰ ὡς ἓν λογίζεσθαι πρόσωπον, τοῦ δύνασθαι συνοικεῖν ἀλλήλοις ἐκβάλλονται, ἵν' ἑαυτὰ ἓν ὄντα διὰ τούτου ἐπιγινώσκωσι καὶ θερμότερον οὕτω φιλῶσιν ἄλληλα.

Ἔτι, τὰ ἐκ τοῦ γάμου αἰσχύνην ἔχει τινὰ φύσει, καὶ ἐκωλύοντ' ἂν ἐν ἐκείνοις, οἷς διὰ τὴν τοῦ αἵματος συνάφειαν αἰδὼς ἐξ ἀλλήλων ὀφείλεται.

Ἔτι, εἵπετ' ἂν ἐντεῦθεν σφοδροτάτη χρῆσις τῶν ἡδονῶν ἐκ νεότητος διὰ τὴν ἐκ παίδων συνήθειαν πρὸς ἀλλήλους τῶν συγγενῶν.

Ἔτι, ἐξεδέδοντο οἱ ἄνθρωποι ταῖς ἡδοναῖς, πολλαπλασιαζομένου τοῦ ἔρωτος ἔκ τε τῆς κατὰ τὴν ἀρχὴν κοινωνίας καὶ τῆς συναφείας, καὶ ἦν ἂν τοῦτο φθορὰ τῆς φρονήσεως καὶ τῶν ἀγαθῶν ἠθῶν ἐν ἀνθρώποις.

Ἔτι, νῦν πολλαπλασιάζεται ἡ φιλία ἐκ πλείονος τῶν ἀνθρώπων κοινωνίας, ἐξωτερικῶν προσώπων διὰ γάμου συναγομένων.

## CXXVI. — Ὅτι ἡ σαρκικὴ μίξις οὐκ ἔστι καθ' ἑαυτὴν κακή.

Τὸ γὰρ κατὰ λόγον χρῆσθαι τῇ σαρκικῇ μίξει καὶ νόμον οὐκ ἔστιν ἁμάρτημα· ὃ γὰρ τέλος ἐστὶ μερῶν τινων φυσικῶν οὐκ ἔστιν ἁμάρτημα, οὔτε αἱ φυσικαὶ ῥοπαὶ πρὸς τὸ καθ' αὐτὸ κακὸν δύνανται εἶναι, ἐγγεγενημέναι τοῖς πράγμασιν ἐκ Θεοῦ, ἀλλ' ἡ παρὰ λόγον καὶ νόμον χρῆσίς ἐστι κακὴ καὶ ἁμαρτία.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ἐντεῦθέν ἐστι τὸ ἐν τῇ πρὸς Κορινθίους πρώτῃ· „Ἡ γυνή, ἐὰν γήμῃ, οὐχ ἥμαρτεν“. Ἐκβάλλεται καὶ ἡ αἵρεσις τῶν λεγόντων πᾶσαν σαρκικὴν μίξιν ἄθεσμον.

## CXXVII. — Ὅτι οὐδεμιᾶς τροφῆς χρῆσις καθ' ἑαυτήν ἐστιν ἁμαρτία. f. 120v

Ὁ γὰρ αὐτὸς λόγος καὶ περὶ τῶν σιτίων ἐστίν, ὅτι τὸ σιτίον τὸ δυνάμενον συντηρεῖν τὸ σῶμα, ὃ τέλος τῆς μεταλήψεως, ἄνευ ἁμαρτίας λαμβάνεται, ἀλλὰ δύναται εἶναι ἁμάρτημα, εἰ παρὰ τὸν λόγον τις τούτῳ χρῆται κατὰ τῆς ἑαυτοῦ σωτηρίας, τουτέστιν, ὅταν διὰ τὴν ἐν τοῖς σιτίοις ἡδονὴν χρῆται τοῖς βλάπτουσιν ἢ κατὰ τὸ εἶδος, ἢ κατὰ τὴν ποσότητα, ἢ ὅταν παρὰ τὴν εὐπορίαν αὐτοῦ, ἢ ὅταν ἐπὶ βλάβῃ τῆς ἕξεως τῶν συνεστιωμένων, ἢ ἐναντίως τῶν ἐθῶν αὐτῶν· ἢ ὅταν χρῆται τοῖς νόμῳ κεκωλυμένοις δι' εἰδικήν τινα αἰτίαν, ἢ ὅταν ἐσθίῃ τὰ κεκωλυμένα κανόσι τισὶ πρὸς τὸ τὰς ἐπιθυμίας ἐπέχειν. Εἰ δὲ μὴ τῆς βουλήσεως τῇ ὀρθότητι διαμάχοιτο, ἀκώλυτον πάσῃ τροφῇ τρέφεσθαι.

Ἐντεῦθέν ἐστι τὸ κατὰ Ματθαῖον· „Τὸ εἰσερχόμενον οὐ κοινοῖ τὸν ἄνθρωπον“· καὶ ἐν τῇ πρὸς Κορινθίους πρώτῃ· „Πᾶν τὸ ἐν μακέλλῳ πωλούμενον ἐσθίετε“· Καὶ ἐν τῇ πρὸς Τιμόθεον πρώτῃ· „Πᾶν γὰρ κτίσμα Θεοῦ καλόν, καὶ οὐδὲν ἀπόβλητον μετ' εὐχαριστίας λαμβανόμενον“· καὶ αὖθις· „Ἐν τοῖς ἐσχάτοις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως, κωλύοντες γαμεῖν, ἀπέχεσθαι βρωμάτων, ἃ ὁ Θεὸς ἔκτισε πρὸς μετάληψιν μετ' εὐχαριστίας“.

Ἑπομένως δὲ οὐδὲ ἡ τοῦ πλούτου κτῆσίς ἐστι κακή, τοῦ λόγου τῆς τάξεως τηρουμένου, οἷον εἰ δικαίως κτᾶται ὃ ἔχει τις, καὶ εἰ μὴ ἔστιν αὐτῷ τὸ τέλος τῆς βουλήσεως ἐν τούτοις, καὶ εἰ χρῆται τούτοις πρὸς τὴν ἰδίαν καὶ ἄλλων ὠφέλειαν. Ὡς ἐν τῇ πρὸς Τιμόθεον φησὶν ὁ Ἀπόστολος, οὐ καταψηφιζόμενος, ἀλλὰ παραγγέλλων· „Τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι παράγγελλε μὴ ὑψηλοφρονεῖν, μηδὲ ἠλπικέναι ἐπὶ πλούτου ἀδηλότητι, ἀλλ' ἐπὶ τῷ Θεῷ, ἀγαθοεργεῖν, πλουτεῖν ἐν ἔργοις ἀγαθοῖς“· καὶ ἐν τῷ Ἐκκλησιαστῇ· „Μακάριος ὁ πλούσιος, ὃς εὕρηται ἄμωμος καὶ ὃς ὀπίσω χρυσίου οὐκ ἐπορεύθη“.

## CXXVIII. — Πῶς ὁ ἄνθρωπος εἰς τὸν πλησίον τέτακται νόμῳ θείῳ.

Τῶν γὰρ εἰς χρῆσιν ὄντων τῷ ἀνθρώπῳ, ὧν ἀπολαύειν ὀφείλει κατὰ λόγον καὶ νόμον, ἐξαίρετόν εἰσιν οἱ ἄλλοι ἄνθρωποι, βοηθοῦντες εἰς τὴν

---

1 I Cor. 7, 36 17 Matth. 15, 11 18 I Cor. 10, 25 19 I Tim. 4, 1-3
28 I Tim. 6, 17-18 31 Eccli. 31, 8

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τῆς ἀληθείας γνῶσιν, εἰς τὸ ἀγαθὸν προσκαλούμενοι, ἀφέλκοντες τοῦ κακοῦ· „Οὐαὶ γὰρ τῷ ἑνί, φησὶν ὁ Ἐκκλησιαστής, ὃς ὅταν πέσῃ οὐκ ἔχει τὸν ἐγείροντα αὐτόν“, καὶ πολλῶν ἄλλων, καὶ ἃ δι' ἑνὸς μόνου
f. 121 γενέσθαι ἀδύνατον, τῇ τῶν χρωμένων χρείᾳ | συντρέχοντες· φύσει γάρ ἐστι ζῷον κοινωνικὸν ὁ ἄνθρωπος. Καὶ διὰ τοῦτο ἔδει ἐκ τοῦ θείου νόμου καθίστασθαι τὸν ἄνθρωπον, ἵνα κατὰ τὴν τοῦ λόγου τάξιν οἰκείως ἔχῃ πρὸς τοὺς ἄλλους, καὶ ἐν εἰρήνῃ καὶ τεταγμένῃ ὁμονοίᾳ, πρὸς ἀλλήλους ἅπαντες ζῶσιν, ὅπερ γίνεται, ἑκάστῳ τοῦ πρέποντος ἀποδιδομένου· ἔργον γὰρ δικαιοσύνης εἰρήνη, ὡς ἐν τῷ Ἡσαΐᾳ λέγεται· „Καὶ ἐδόθησαν ἐντολαὶ δικαιοσύνης“, πρῶτον μὲν τῆς πρὸς τοὺς γονέας, οἷς μάλιστα ὀφείλομεν, ὡς ἐν τῇ Ἐξόδῳ· „Τίμα, φησί, τὸν πατέρα σου καὶ τὴν μητέρα σου“· εἶτα· „Μὴ φονεύσῃς“, ὅπερ ἐστὶν ἀδικία καὶ βλάβη εἰς αὐτὸ τὸ πάσχον πρόσωπον· εἶτα· „Μὴ μοιχεύσῃς“, ὅπερ ἐστὶν εἰς τὸ συνημμένον ἐκείνῳ πρόσωπον· εἶτα· „Μὴ κλέψῃς“, ὅπερ ἐστὶν ἀφαίρεσις ἐξωτερικοῦ τινος πράγματος· εἶτα· „Μὴ ψευδομαρτυρήσῃς“, τουτέστι μηδὲ ῥήμασι προσκόψῃς τῷ πλησίον· εἶτα· „Μὴ ἐπιθυμήσῃς πρᾶγμα τοῦ πλησίον σου“, ὅπερ ἐστὶ τὸ μηδὲ καρδίᾳ ἀδικῆσαι αὐτόν, τοῦ Θεοῦ κριτοῦ τῶν καρδιῶν ὄντος· εἶτα· „Ἀγαπήσεις Κύριον τὸν Θεόν σου καὶ τὸν πλησίον σου ὡς ἑαυτόν“· τὸ γὰρ τηρεῖν ἐκεῖνα πάντα, ἐκ τῆς τοιαύτης ἀγάπης συμβαίνει, ὡς ὁ Ἀπόστολός φησι· „Πλήρωμα γὰρ νόμου ἐστὶν ἡ ἀγάπη“· καὶ ὁ Κύριος ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς εἶπε τὸν νόμον ἅπαντα κρέμασθαι.

## CXXIX. — Ὅτι ἐν ταῖς ἀνθρωπίναις πράξεσιν εἰσί τινα κατὰ φύσιν ὀρθὰ οὐ μόνον ὡς νόμιμα.

Ὑπὸ γὰρ τῶν θείων ἐντολῶν ὁ τοῦ ἀνθρώπου νοῦς τάττεται ὑπὸ τὸν Θεόν· ὁμοίως δὲ καὶ πάντα τὰ ἐν τῷ ἀνθρώπῳ ὑπὸ τὸν λόγον. Τοῦτο δὲ ἡ φυσικὴ τάξις ζητεῖ, τὸ τὰ ὑποβεβηκότα τοῖς ὑπερβεβηκόσιν ὑποτετάχθαι.

Ἔτι, τὸ φυσικὸν τοῦ λόγου κριτήριον ἔχουσιν ἐκ τῆς προνοίας οἱ ἄνθρωποι ὡς ἀρχὴν τῶν ἰδίων ἐνεργειῶν· αἱ δὲ φυσικαὶ ἀρχαὶ πρὸς τὰ φυσικῶς ὄντα εἰσὶ τεταγμέναι. Εἰσὶ τοίνυν πράξεις τινὲς κατὰ φύσιν προσήκουσαι τῷ ἀνθρώπῳ, καὶ καθ' ἑαυτὰς ὀρθάς, καὶ οὐχ ὥσπερ ὑπὸ τοῦ νόμου μόνον τεθεῖσαι, ὡς τὸ ἑκάστῳ τὸ ἴδιον συντηρεῖν καὶ τῆς ἀδικίας ἀπέχεσθαι, ὧν ἄνευ ἀδύνατον τὴν ἀνθρωπίνην κοινωνίαν κατὰ φύσιν αὐτῷ προσοῦσαν συνίστασθαι· ὡς ἡ κατὰ λόγον καὶ μέτρον τῶν πρὸς χρῆσιν πάντων μετάληψις, ὥστε τὸ ἀγαθὸν καὶ κακὸν ἐν τούτοις οὐ κατὰ τὴν τοῦ νόμου θέσιν μόνον, ἀλλὰ καὶ κατὰ τὴν φυσικὴν εἶναι τάξιν.

---

**2** Eccle. 4, 9-12 **9** Is. 32, 17 **11** Ex. 20, 12 sq. **20** Rom. 13, 10

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## CXXX. — Περὶ τῶν ἐν τῷ θείῳ νόμῳ διδομένων παραινέσεων. f. 121v

Ἔδει μὲν ἐν τῷ θείῳ νόμῳ καὶ παραινέσεις δοθῆναι, δι' ὧν τῶν περισπασμῶν ἀφελκόμενοι τοῦ βίου, τῶν κωλυόντων τὴν διάνοιαν, τῷ Θεῷ προσκολλῆσαι δυνήσονται. Τοῦτο δὲ οὐχ οὕτως ἀναγκαῖον τῷ ἀνθρώπῳ, ὥστ' ἄνευ τούτου μὴ δύνασθαι δικαιοσύνην ἐν αὐτῷ καὶ ἀρετὴν εἶναι· οὐ γὰρ ἀναιρεῖται ἡ δικαιοσύνη καὶ ἡ ἀρετή, εἰ τοῖς σωματικοῖς καὶ γηΐνοις κατὰ τὴν τοῦ λόγου τάξιν ὁ ἄνθρωπος χρῆται· καὶ διὰ τοῦτο αἱ τοιαῦται παραινέσεις συμβουλαὶ λέγονται, οὐκ ἐντολαί, πείθουσαι χάριν τῶν βελτιόνων τὰ ἧττον ἀγαθὰ παραλείπειν.

Ἐπεὶ δὲ ἡ ἀνθρωπίνη ζωὴ περὶ τρία μάλιστα περισπᾶται· περὶ τὸ ἴδιον πρόσωπον, καὶ ἃ ποιήσει καὶ ποῦ διατρίψει· περὶ τὰ συνημμένα πρόσωπα, οἷον γυναῖκα καὶ παῖδας· καὶ περὶ τὰ ἐξωτερικὰ πράγματα, ὧν δεῖ τῇ παρούσῃ ζωῇ, πρὸς τὸ περιελεῖν τὴν τριπλῆν ταύτην φροντίδα τριπλῆ παραίνεσις δέδοται. „Εἰ γὰρ θέλεις, φησί, τέλειον εἶναι, πώλησόν σου τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς, καὶ δεῦρο ἀκολούθει μοι"· καί· „Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε· αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ ὑμῶν", καὶ τὰ τοιαῦτα, ἐν οἷς ἡ τριπλῆ φροντὶς ἀπορρίπτεσθαι συμβουλεύεται. Ἐπεὶ οὖν οὐκ εἰσὶ τελειότητες ταῦτα, ἀλλὰ διαθέσεις πρὸς τελειότητα, καὶ ἀποτελέσματα καὶ σημεῖα, τῆς τελειότητος οὔσης ἐν τῇ πρὸς Θεὸν σχολῇ τῆς διανοίας ἀπερισπάστῳ, οἱ ὑπισχνούμενοι ταῦτα καὶ πληροῦντες τὰ τρία ἐν τῇ τάξει τῆς τελειότητός εἰσιν, ἤγουν οἱ τὸ μὲν πράγματα διὰ τῆς ἑκουσίου πτωχείας ἠρνημένοι, τὸ δὲ σῶμα διὰ τῆς ἐγκρατείας, τὴν δὲ βούλησιν διὰ τῆς ὑπακοῆς. Οὗτοι γὰρ ἑαυτοὺς καθοσιοῦσι τῷ Θεῷ καὶ τὰ ἑαυτῶν, καὶ τὸ εἰρημένον, σταυροῦσι καὶ ἀπαρνοῦνται ἑαυτούς, καὶ τῷ Κυρίῳ ἀκολουθοῦσιν.

## CXXXI-CXXXII. — Περὶ τῶν τῆς ζωῆς τρόπων, οἷς ζῶσιν οἱ τὴν ἑκούσιον πενίαν αἱρούμενοι.

Εἷς μὲν δὴ τρόπος, τὸ τῶν κτημάτων ἑκάστων πωλουμένων, κοινῶς πάντας ἐκ τοῦ τιμήματος ζῆν, ὃ δὴ τοῖς ἀποστόλοις ἐν Ἱερουσαλὴμ ἐτηρήθη, ὡς ἐν ταῖς Πράξεσι λέγεται· ἄλλος, τὸ κτήματα ἔχειν κοινά, ἐξ ὧν ἑκάστῳ γενήσεται πρόνοια κατὰ τὴν ἑκάστου χρείαν· ἄλλος, τὸ ἐκ τοῦ πόνου τῶν ἰδίων χειρῶν ζῆν, ᾧ καὶ Παῦλος ἠκολούθησε, καὶ τοῖς ἄλλοις τῷ καθ' ἑαυτὸν ὑποδείγματι φυλάττειν κατέλιπεν, | ὡς ἐν τῇ πρὸς Θεσσαλονικεῖς δευτέρᾳ f. 122
λέγει· „Οὐ δωρεὰν ἄρτον ἐφάγομεν ἀπό τινος, ἀλλ' ἐν κόπῳ καὶ μόχθῳ ἡμέρας καὶ νυκτὸς ἐργαζόμενοι, ἵνα μή τινα ἐπιβαρήσωμεν", καὶ τὰ ἑξῆς· ἄλλος, τὸ ζῆν ἐκ τῶν παρ' ἄλλων εἰσφερομένων, προσαιτοῦντας δηλονότι.

---

15 Matth. 13, 21 17 Hebr. 13, 17 36 II Thess. 3, 8-10



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Τούτοις τοῖς τρόποις λόγους τινὰς ἀντεπῆγε τινῶν, οἳ τῇ κατὰ Θεὸν ἑκουσίῳ πτωχείᾳ μάχονται, οὓς ὡς προδήλους παρίεμεν, ἐπισυνάπτοντες τὰ ἑξῆς.

## CXXXIII. — Ὅτι ἡ ἑκούσιος πενία ἀγαθόν ἐστιν.

Ὁ μὲν πλοῦτος ἀγαθόν ἐστι τοῦ ἀνθρώπου, ἀλλ' οὐ πρῶτον, ἀλλ' ὥσπερ δεύτερον· οὐ γὰρ ὡς αἱ ἀρεταί, ἀλλ' ὡς χρησιμεῦον πρὸς ἀρετήν, ὅταν δι' αὐτοῦ τὸ σῶμά τε ἀνέχωμεν καὶ ἄλλοις βοηθῶμεν. Ἔστι δὲ καὶ κακόν, ὅταν ἐξ αὐτοῦ ἡ τῆς ἀρετῆς χρῆσις κωλύηται, ὃ πολλοῖς τρόποις συμβαίνει· ὥστε τισὶ μὲν ἀγαθόν ἐστι, τοῖς πρὸς ἀρετὴν χρωμένοις· τισὶ δὲ κακόν, τοῖς ἀφελκομένοις αὐτῆς δι' αὐτοῦ ἢ τῇ σφοδρᾷ περὶ αὐτὸν φροντίδι, ἢ τῇ ἐπιτεταμένῃ ἐπιθυμίᾳ, ἢ τῇ σφοδρᾷ τῆς διανοίας ἐπάρσει. Καὶ ὅσον δὲ αὐτοῦ χρησιμεῦον, πρὸς τὴν πρακτικὴν ζωήν ἐστιν· τοῖς δὲ θεωρητικὴν προῃρημένοις ζωήν, πρὸς ἣν ἡ ἐκ τῶν ἀνθρωπίνων φέρει σχολὴ καὶ ἐν τοῖς θείοις διατριβή, ἐλάχιστα δεῖ τοῦ ἔξωθεν πλούτου, ἀρκούντων αὐτοῖς τῶν δυναμένων τὴν ζωὴν μόνον συνέχειν, ὡς ὁ Ἀπόστολος φησίν· „Ἔχοντες διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα".

Ἀλλ' ἡ πτωχεία ἐπαίνου ἐστὶν ἀξία ὡς ἀπαλλάττουσα τῶν παθῶν, οἷς τινὲς διὰ τὸν πλοῦτον ἐμπίπτουσιν· ὡς δὲ ἀναιρετικὴ τῶν φροντίδων, ἐνίοις μὲν ὠφέλιμος δυναμένοις περὶ τὰ βελτίω ἀσχολεῖσθαι, ἄλλοις δὲ βλαβερά, περὶ ὧν φησιν ἐν ἠθικοῖς ὁ Γρηγόριος· „Πολλάκις οἱ καλῶς ταῖς ἀνθρωπίναις χρήσεσιν ἐν τῇ ζωῇ περισπώμενοι τῷ τῆς ἰδίας ἡσυχίας ξίφει ἀπέθανον". Καθόσον δὲ ἡ πτωχεία τὸ ἐπαρκεῖν ἑαυτῷ καὶ ἄλλοις ἔχειν ἀναιρεῖ, κακόν ἐστιν ἁπλῶς, εἰ μήπου τοῖς διὰ τὸ στερεῖσθαι τῶν εὐπαθειῶν τοῦ πλούτου, ἐλευθερώτερον τοῖς πνευματικοῖς καὶ θείοις σχολάζουσιν, ὡς εἴρηται. Ἀντὶ δὲ τοῦ τῆς ἰδίας αὐταρκείας ἀγαθοῦ οὐδὲν ἂν ἕτερον ἀγαθὸν γένοιτο· δι' οὐδενὸς γὰρ ἀγαθοῦ κτῆσιν ὁ ἄνθρωπος ἑαυτὸν ὀφείλει τοῦ αὐτάρκους ἀποστερεῖν. Ἡ τοιαύτη τοίνυν πενία ἀξία ἐστὶν
f. 122v ἐγκωμίων, ὅταν ὁ ἄνθρωπος τῶν γηΐνων φροντίδων | ἀπηλλαγμένος, ἐλευθερώτερον τοῖς πνευματικοῖς σχολάζῃ καὶ θείοις, μενούσης μέντοι τὸν ἐνδεδομένον τρόπον τῆς τοῦ ἐπαρκεῖν ἑαυτῷ εὐπορίας, πρὸς ὃ οὐ πολλῶν χρεία· καὶ ὅσον ὁ τρόπος τοῦ ζῆν ἐν πενίᾳ ἐλάττω περισπασμὸν ἀπαιτεῖ, τοσοῦτον ἐπαινετωτέρα ἐστίν, οὐ μέντοι ὅσῳ μείζων ἡ πενία· οὐ γὰρ καθ' αὑτό ἐστιν ἀγαθὸν ἡ πενία, ἀλλὰ καθόσον ἀπαλλάττει τῶν κωλυόντων τοῖς θείοις προσέχειν· ὥστε τοῦ κατ' αὐτὴν ἀγαθοῦ μέτρον ὁ τρόπος, καὶ τοῦτο πάντων τῶν ἔξωθεν κοινόν ἐστι μέτρον, ἅπερ οὐ καθ' αὑτά εἰσιν ἀγαθά, ἀλλὰ καθόσον πρὸς ἀρετὴν τελειοῦσιν.

---

16 I Tim. 6, 8

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## CXXXIV.

Ἐπὶ τούτοις ἡ λύσις ἦν τῶν κατὰ τῆς πενίας εἰσενηνεγμένων λόγων, ὃ μέρος παρίεμεν, ὡς καὶ τοὺς λόγους ἐκείνους.

## CXXXV. — Περὶ τῶν εἰρημένων τῆς ζωῆς τρόπων κατὰ τῶν ἀνθισταμένων αὐτοῖς.

Ὁ μὲν πρῶτος τρόπος ἱκανὸς μέν ἐστιν, οὐ μέντοι πρὸς χρόνον μακρόν· ὅθεν καὶ οἱ ἀπόστολοι, μεταβεβηκότες ἐπὶ τὸ κήρυγμα, οὐ τοῦτον ἐνεστήσαντο λοιπὸν τοῦ βίου τὸν τρόπον, ἀλλ' ἐν μόνῃ τῇ Ἱερουσαλήμ, ἕως ἀλλήλοις συνδιέτριβον. Τούτῳ τῷ τρόπῳ τῆς ζωῆς ὁ ἐκ τῶν διοικητῶν ἀντίκειται δόλος, ἀλλὰ φάρμακον ἡ τῶν πιστῶν οἰκονόμων ἐπιστασία νουνεχής, ὡς ἐπὶ τῶν ἀποστόλων ὁ Στέφανος καὶ ἄλλοι τινὲς ἐξηλέγχθησαν ἱκανοὶ τῇ ὑπηρεσίᾳ.

Ὁ δεύτερος τρόπος καὶ αὐτὸς ἱκανός· ἑνὸς γὰρ ἢ καὶ πλειόνων ἐπιμελουμένων τῶν κοινῶν κτημάτων, οἱ ἄλλοι μὲν ἐλευθέρως δυνήσονται τοῖς θείοις σχολάζειν, τοῖς δὲ φροντισταῖς οὐδὲν ἀπολεῖται τῆς κατὰ τὴν ζωὴν τελειότητος, τοῦ ἐνδέοντος ἐν τῇ τῆς ἡσυχίας στερήσει ἀναπληρουμένου ἐν τῇ τῆς ἀγάπης ὑπακοῇ, ἐν ᾗ συνίσταται καὶ ἡ τελείωσις τῆς ζωῆς. Εἰ δέ τινες καταχρῶνται τούτῳ τῷ τρόπῳ, οὐ διὰ τοῦτο δίκαιον ἀποδοκιμάζεσθαι τὸ εἶδος τοῦ βίου· οἱ γὰρ φαῦλοι κακῶς καὶ τοῖς ἀγαθοῖς χρῶνται.

Καὶ ὁ τρίτος δὲ βίος ἐπαινετός· οὔτε γὰρ κωλύει τῶν πνευματικῶν ἔργων, δι' ὧν τὴν ἑκούσιον πτωχείαν ἀναλαμβάνουσιν διὰ τὸ μὴ μακρὸν ἀναλίσκειν χρόνον ἐν τῷ τὰ ἀναγκαῖα ζητεῖν τῷ τῶν χειρῶν πόνῳ, καὶ διὰ τὸ δύνασθαι καὶ ἐν τῇ τῶν χειρῶν ἐργασίᾳ τοῦ Θεοῦ μεμνῆσθαι καὶ ὑμνεῖν αὐτόν· οὔτε εἰ μὴ αὐταρκεῖ πρὸς τὸν τῶν ἀναγκαίων πορισμὸν κατὰ συμβεβηκός, ἢ δι' ἀσθένειαν, ἢ διά τι τοιοῦτον, διὰ τοῦτο ἀπωστέος ἐστίν. Οὐδεὶς γάρ ἐστιν | ἐν ἀνθρώποις τοῦ ζῆν τρόπος μὴ δυνάμενος f. 123 ἐκλείπειν ποτέ, καὶ αὐτοῦ τοῦ πλούτου ἁρπαγαῖς ἢ κλοπαῖς ἀφαιρεῖσθαι δυναμένου ποτέ· ᾧ δὲ ὁ τῶν ἰδίων χειρῶν πόνος οὐκ αὐταρκήσει πρὸς τὴν ζωήν, ἑτέρων πιστῶν εὐποιΐαις βοηθήσεται ἢ τῆς αὐτῆς συμμορίας, ἢ καὶ ὡντινωνοῦν. Λυσιτελεῖ δὲ ἡ διὰ τῶν χειρῶν ἐργασία καὶ τῇ καταπαύσει τῶν ἐπιθυμιῶν ἰσχύουσι νόμου τοῦ σώματος, καὶ πρὸς τὴν ὑγίειαν συμπράττει. Ἀλλὰ προὔργου πρὸς τὴν τῆς τροφῆς ἀνάγκην ἐστίν· ἐκεῖνα γὰρ καὶ ἄλλαις ὁδοῖς δυνατὸν κατορθοῦσθαι.

Καὶ ὁ τέταρτος τῆς ζωῆς τρόπος οἰκεῖός ἐστι καὶ μάλα τοῖς τὴν ἑκούσιον ἀναδεχομένοις πτωχείαν· οἰκεῖόν τε γὰρ τῇ ἀνθρωπίνῃ κοινωνίᾳ τὸ τοὺς μὲν τῶν ἀνθρώπων σοφίᾳ καὶ διδασκαλίᾳ φωτίζειν τοὺς ἄλλους

---

12 *ἐξειλέγχησαν* A 34 *τὴν* répété dans A



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

καὶ προσευχῇ καὶ δεήσεσιν ὑπερείδειν· τοὺς δὲ ἐκ τῶν ἰδίων πόνων αὐτοῖς πορίζειν τὸ ζῆν, καὶ ἀμφοτέροις ἔμμισθος ἡ τοῦ ἔργου προαίρεσις, καὶ ἑκάτεροι κοινωνοὶ τοῦ ἔργου τῶν ἑτέρων καὶ τοῦ μισθοῦ· καὶ ἅμα παράκλησις εἰς ἐλεημοσύνην τοῖς ἔχουσι καὶ πρὸς βοήθειαν τῶν δεομένων συνηγορία ἐκ παραδείγματος τὸ τὸν ἴδιον πλοῦτον πένησιν καταλελοιπότα, αὐτὸν ἐν τάξει πενήτων ἐκ τῶν προαιρουμένων χορηγεῖν διαστρέφεσθαι. Οὔτε ἀνελεύθερον τὸ μικρὰ λαμβάνειν πρὸς τὴν τοῦ ζῆν ἀνάγκην τὸν μεγάλων καταφρονήσαντα, οὔτε ἄδοξον, τῆς ἀνάγκης ἀποκαλυπτομένης καὶ λόγῳ ἐκτιθεμένης πρὸς τοὺς βοηθεῖν δυναμένους, μόνον εἰ μὴ ἀσυμφόρως καὶ ἀδιακρίτως, μηδὲ πρὸς τὸ περιττὸν ἢ τὴν ἡδονὴν ποιοῖτο τὴν ζήτησιν. Ἀλλὰ μὴν καὶ ταπεινοφροσύνη τούτῳ σύνεστι τῷ τρόπῳ τοῦ βίου, τῆς ἐπάρσεως τῆς ἀνθρωπίνης διανοίας καταστελλομένης ἐντεῦθεν, καὶ τῇ εὐτελείᾳ καὶ τῷ ὑπομένειν τῆς ψυχῆς συνεθιζομένης. Ἔστι δὲ παντελῶς ἄλογος αἵρεσις τῶν οἰομένων πᾶσαν ὑπὸ τοῦ Κυρίου ἀπειρῆσθαι φροντίδα ὑπὲρ τῆς τοῦ ζῆν ζητήσεως· ἀναγκαῖον γὰρ μᾶλλον κατὰ τὴν θείαν διάταξιν περί τε τὰς σωματικὰς ἐργασίας γυμνάζεσθαι καὶ τοῖς πνευματικοῖς προσέχειν· καὶ τοσοῦτον ἔστι τις τελειότερος ὅσῳ τοῖς πνευματικοῖς πλέον προσέχοι. Οὐ μέντοι τῆς ἀνθρωπίνης τελειότητος οὗτος
f. 123v ὁ τρόπος, τὸ μηδὲν ποιεῖν | σωματικόν· τοῦτο γὰρ οὐδὲν ἄλλο ἢ τῆς ἰδίας καταφρονεῖν ζωῆς, ἣν πᾶς ὀφείλει τηρεῖν, ἐπεὶ αἱ σωματικαὶ ἐνέργειαι τεταγμέναι εἰσὶ πρὸς τὰ ἀναγκαῖα τῇ τῆς ζωῆς συντηρήσει· τὸ δ' ἀναμένειν βοήθειαν ἐκ Θεοῦ ἐν οἷς τις ἑαυτῷ δύναται βοηθεῖν ἐνεργῶν, ἄφρονος καὶ πειράζοντος τὸν Θεόν. Τοῦτο γὰρ τῇ θείᾳ προσήκει προνοίᾳ, τὸ τῶν πραγμάτων οὐκ ἀμέσως προνοεῖν, ἀλλὰ πρὸς τὰς ἰδίας ἐνεργείας τὰ ἄλλα κινεῖν. Καὶ οὐ δεῖ προσδοκᾶν τὸ πάσης ἐνεργείας ἰδίας ἀμελουμένης, δι' ἧς ἑαυτῷ τις δύναται βοηθεῖν, τὸν Θεὸν ἡμῶν προνοεῖν· τοῦτο γὰρ τῇ θείᾳ μάχεται διατάξει καὶ ἀγαθότητι.

Ἀλλ' ἐπεὶ εἰ καὶ ἐφ' ἡμῖν ἐστι ποιεῖν, οὐ μέντοι ἐφ' ἡμῖν ἐστι τὸ τὰς ἡμετέρας ἐνεργείας τοῦ ὀφειλομένου τέλους τυγχάνειν διὰ τὰ δυνάμενα συμβαίνειν κωλύματα, τὸ ἑκάστῳ διὰ τῆς ἰδίας προϊὸν ἐνεργείας τῇ θείᾳ προνοίᾳ ὑπόκειται. Κελεύει τοίνυν ὁ Θεὸς μὴ φροντίζειν ἡμᾶς περὶ τοῦ μὴ προσήκοντος ἡμῖν, ἤγουν περὶ τῶν ἀποβάσεων τῶν ἡμετέρων ἐνεργειῶν· οὐ μέντοι κεκώλυκε φροντίζειν περὶ τῶν ἡμῖν προσηκόντων, τοῦ ἡμετέρου δηλαδὴ ἔργου. Οὐκ ἐναντία τοίνυν ποιεῖ τῷ τοῦ Κυρίου προστάγματι ὁ τῶν πρακτέων φροντίζων, ἀλλ' ὁ φροντίζων περὶ τῶν δυνάμενων καταβαπτίζειν, ἢ περὶ τῶν ἀποβησομένων μελετῶν, περὶ ὧν ὀφείλει τῇ τοῦ Θεοῦ προνοίᾳ θαρρεῖν, ἣ καὶ ὄρνεις καὶ βοτάνας ἀνέχει. Τὸ γὰρ τοιαύτην ἔχειν φροντίδα τῇ τῶν ἐθνικῶν πλάνῃ προσήκει, τῶν τὴν θείαν πρόνοιαν

23 τὸ corrigé de τῷ dans A

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἀρνουμένων. Διὰ δὲ τοῦ μὴ φροντίζειν ἡμᾶς εἰς τὴν αὔριον οὐκ ἐκώλυσε τὸ φυλάττειν τὰ ἡμῖν ἀναγκαῖα τῷ ἑαυτῶν καιρῷ, ἀλλὰ τὸ περὶ τῶν κατὰ τὸ μέλλον ἀποβησομένων φροντίζειν μετὰ τοῦ τὴν θείαν ἀπογινώσκειν βοήθειαν, καὶ μὴ προκαταλαμβάνειν σήμερον τὴν αὔριον ἐσομένην φροντίδα· ἑκάστη γὰρ ἡμέρα τὴν ἑαυτῆς ἔχει φροντίδα· ὅθεν προστίθεται· „Ἀρκετὸν τῇ ἡμέρᾳ ἡ κακία αὐτῆς".

Φανερὸν τοίνυν, ὅτι διαφόροις τε καὶ πᾶσι πρέπουσι τρόποις δύνανται ζῆν οἱ τὴν ἑκούσιον πτωχείαν αἱρούμενοι, ἐν οἷς τοσοῦτον ἔστι τις ἀξιεπαινετώτερος ὅσῳ τῆς τῶν πραγμάτων φροντίδος καὶ τῆς περὶ ταῦτα ἀσχολίας τὸν νοῦν μᾶλλον ἀνώτερον ἀποδείκνυσιν.

## CXXXVI. — Κατὰ τῶν τῇ διηνεκεῖ μαχομένων ἐγκρατείᾳ.

Ὥσπερ δὲ κατὰ τῆς ἐν πτωχείᾳ τελειότητος, οὕτω καὶ κατὰ τοῦ τῆς ἐγκρατείας καλοῦ | διεστραμμένοι τὸν νοῦν ἐλάλησαν ἄνθρωποι, ὧν τοὺς f. 124
λόγους λύειν οὐ χαλεπόν. Ἡ γὰρ γένεσις τῷ εἴδει ὅλῳ ἀναγκαία, οὐ τῷ ἀτόμῳ, καὶ διὰ τοῦτο οὐκ ἀνάγκη πάντας ἀνθρώπους, ὡς αὐτοὶ λέγουσιν, ταῖς τῆς γενέσεως ἐνεργείαις σχολάζειν, ἀλλά τινας τούτων ἀπεχομένους ἄλλοις ὑπηρετήμασι προσέχειν, ὡς, λόγου χάριν, στρατείᾳ ἢ θεωρίᾳ.

Εἴτε εἰ παρὰ τῆς θείας προνοίας δέδοται τῷ ἀνθρώπῳ πάντα τὰ τῷ εἴδει ἀναγκαῖα, οὐ μέντοι ἀνάγκη πάντα ἄνθρωπον πᾶσι τούτοις κεχρῆσθαι· δέδοται γὰρ καὶ μηχανὴ πρὸς τὸ οἰκοδομεῖν, καὶ δύναμις πρὸς τὸ πολεμεῖν· οὐ μέντοι διὰ τοῦτο πάντας οἰκοδομεῖν ἀνάγκη ἢ στρατεύειν. Ὁμοίως δὲ καὶ περὶ τῶν πρὸς τὴν τῆς γενέσεως ἐνέργειαν δεδομένων μελῶν ἢ δυνάμεων. Ἀλλ' οὐδὲ ἀνάγκη πάντας ἐγκρατεύεσθαι, ᾧ εἴπετ' ἂν τὸ ἀνθρώπινον ἐκλιπεῖν γένος. Εἰ γὰρ καὶ ὅσον πρὸς ἕκαστον βέλτιόν ἐστιν, ἀλλ' οὐ βέλτιον ἂν ἦν τῷ παντὶ καὶ πάντας εἶναι τοιούτους· βέλτιον γάρ τινι οὐσίᾳ ἀσωμάτῳ εἶναι ἢ σωματικῇ, καὶ βελτίων ὁ ὀφθαλμὸς τοῦ ποδὸς ἐν τῷ τοῦ ζῴου σώματι, ἀλλ' οὔτε τὸ πᾶν τέλειον ἂν ἦν ἐκ τῶν ἀσωμάτων οὐσιῶν μόνον, οὔτε τὸ ζῷον, εἰ μὴ καὶ ὀφθαλμοὺς εἶχε καὶ πόδας. Οὕτω καὶ τῷ πλήθει τοῦ ἀνθρωπίνου γένους βέλτιον τοὺς μὲν ταῖς τῆς γενέσεως ἐνεργείαις προσέχειν, τοὺς δὲ ἀπέχεσθαι αὐτῶν καὶ τῇ θεωρίᾳ σχολάζειν.

Εἰ δὲ καὶ γίνεταί τις τῷ ἀνθρώπῳ φροντὶς ἐκ τῆς πρὸς τὰς ἐπιθυμίας μάχης, ἐπί τινα ὥραν ἐστὶν ὀλίγην, καὶ αὐτὴν ἀγνοουμένην διὰ τὸ μὴ συγκατατίθεσθαι· ἡ δὲ φροντὶς καὶ ὁ περισπασμὸς τῶν ἐν συζυγίᾳ συνεχὴς καὶ βιαία· καὶ τῶν μὲν αἱ ἐπιθυμίαι βίαιοι καὶ φορτικαὶ διὰ τὴν χρῆσιν τῶν ἡδονῶν, τῶν δέ, ἀσθενεῖς ὑπὸ ἐγκρατείας καὶ τῶν ἄλλων γυμνασίων.

Ὥσπερ δὲ οὐ παντὶ λυσιτελεῖ ἀπέχεσθαι γάμου, οὕτως οὐδ' ἐν παντὶ

---

5 Matth. 6, 34 36 χρῆσιν: χλῆσιν A

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

καιρῷ, ἀλλ' ἢ διὰ τὴν ὀλιγότητα τῶν ἀνθρώπων, ὡς ἐν τῇ ἀρχῇ τῆς γενέσεως, ἢ διὰ τὴν ὀλιγότητα τοῦ πιστοῦ λαοῦ ἐδέησε ποτὲ καὶ πλέον τῆς σαρκικῆς γενέσεως πληθυσμοῦ χάριν. Ἐν δὲ τῇ καινῇ διαθήκῃ τετήρηται ἡ περὶ τῆς διηνεκοῦς ἐγκρατείας ὑποθήκη, ὅτε ὁ πνευματικὸς λαὸς διὰ τῆς πνευματικῆς γενέσεως πολλαπλασιάζεται.

## CXXXVII. — Κατὰ τῶν τὴν συζυγίαν ἐξισούντων τῇ παρθενίᾳ.

Ἀλλ' οὐδὲ διὰ τὸ τὸν Ἀβραὰμ ἢ τὸν Μωϋσῆν τελειότερον γενέσθαι
f. 124v πολλῶν ἀσκούντων ἐγκράτειαν, διὰ τοῦτο καὶ ὁ | γάμος τῆς παρθενίας ἐστὶ τελειότερον, ἢ ταύτῃ ἴσον· οὐ γὰρ τό τινος προσώπου τέλειον ἱκανός ἐστιν ἔλεγχος πρὸς τὸ τέλειον τοῦ ἐπιτηδεύματος. Δύναται γάρ τις τελειοτέρᾳ διανοίᾳ τελειότερον ἐλάττονι χρήσεσθαι ἀγαθῷ ἢ ἕτερος, μείζονι, ὥσπερ οἱ εἰρημένοι, καὶ γάμῳ χρησάμενοι, τὴν τῆς ἀληθείας καὶ τῶν θείων θεωρίαν οὐχ ἧττον ἠγάπησαν, ὡς ἡ τῶν χρόνων ἐκείνων ἀπῄτει κατάστασις. Ἁπλῶς καὶ οὕτως ὑπέρκειται ἡ παρθενία τοῦ γάμου διὰ τὴν ἐπὶ τὰ πνευματικὰ τῆς διανοίας ἔπαρσιν, ὥστε τῆς ἀνθρωπίνης τάξεως ὑπερτίθεσθαι τοὺς ἀσκοῦντας ἐν ὁμοιότητί τινι τῶν ἀγγέλων.

## CXXXVIII. — Περὶ τῆς αἱρέσεως τῶν λεγόντων μὴ δεῖν πρὸς τὸν Θεὸν συνθήκας ποιεῖσθαι.

Ἐπεὶ δέ τισιν ἔδοξεν ἀνόητον εἶναι ἐμπλέκεσθαι ὑποσχέσεσι πρὸς τὸν Θεὸν διά τινων συνθηκῶν· τὸ γὰρ ἐλευθέρως πραττόμενον ἀγαθὸν τοῦ ὑπ' ἀνάγκης γινομένου τῆς ἀρετῆς ἐστὶν ἐγγύτερον, καὶ διὰ τοῦτο τὸν τῶν ἐναρέτων πράξεων ἔπαινον ἀναιρεῖσθαι δοκεῖ, δι' ἀνάγκην ὑπακοῆς ἢ ὑποσχέσεως γινομένων· ἐοίκασιν οὗτοι τὸν τῆς ἀνάγκης λόγον ἀγνοεῖν. Ἔστι γάρ τις ἀνάγκη κατεπείξεως, ἢ τὸν ἔπαινον ἐλαττοῖ, τῷ ἑκουσίῳ ἐναντιουμένη. Ἔστιν ἄλλη, ἐκ τῆς ἔνδοθεν ῥοπῆς προϊοῦσα, ἥτις οὐκ ἐλαττοῖ τὸν ἔπαινον, αὔξει μὲν οὖν· ποιεῖ γὰρ τὴν βούλησιν μᾶλλον ἐπιτεταμένως εἰς τὴν τῆς ἀρετῆς πρᾶξιν τείνειν. Ἔστιν ἄλλη ἀνάγκη ἐκ τοῦ τέλους, ὡς ὅταν λέγηται ἀναγκαῖον τινὶ ναῦν ἔχειν, ὥστε διαπεράσαι τὴν θάλασσαν. Καὶ οὐδ' αὕτη τὴν ἐλευθερίαν τῆς βουλήσεως ἐλαττοῖ.

Ἀλλ' ἡ τοῦ τηρεῖν ἀνάγκη τὰ ὑποσχημένα, ἢ ᾧ ὑπέταξέ τις ἑαυτὸν ὑπακούειν αὐτῷ, οὐκ ἔστι κατεπείξεως ἀνάγκη, οὐδ' ἐκ τῆς ἔνδοθεν ῥοπῆς πρόεισιν, ἀλλὰ κατὰ τὴν πρὸς τὸ τέλος τάξιν. Ἀνάγκη γὰρ τῷ εὐξαμένῳ τοῦτο ἢ ἐκεῖνο ποιεῖν, εἰ τὸ ηὐγμένον πληρωθῆναι ὀφείλει ἢ ἡ ὑπακοὴ τηρηθῆναι. Ἐπεὶ τοίνυν ἀξιεπαινετώτερα τὰ τέλη δι' ὧν τις ἑαυτὸν τῷ Θεῷ ὑποτάττει, ἡ προειρημένη ἀνάγκη, οὐδὲν αὐτῷ ἐλαττοῖ τοῦ τῆς ἀρετῆς ἐπαίνου. Δεῖ δὲ καὶ περαιτέρω θεωρεῖν, ὅτι καὶ μείζονος ἐπαίνου καὶ
f. 125 ἀμοιβῆς εἰσιν ἄξια τὰ δι' ὑποσχέσεως ἢ ὑποταγῆς ἀγαθὰ | τῶν ἁπλῶς

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

γινομένων· τὸ μὲν γὰρ ἄνευ τῆς πρὸς Θεὸν ὑποσχέσεως ἐγκρατῆ εἶναι τῶν τῆς τροφῆς ἢ μίξεως ἡδονῶν, σωφροσύνης ἐστὶ καὶ νηστείας· τὸ δὲ μετ' εὐχῆς καὶ εἰς ἑτέραν ὑψηλοτέραν ἀρετὴν ἀναφέρεται καὶ τάξιν ὑπερκειμένην, τὴν τῶν μοναχῶν δηλονότι, δι' ἧς πρὸς τὸν Θεόν τις ἄντικρυς φέρεται. Οὕτω δὲ καὶ πᾶσα ἀρετὴ ἀξιεπαινετωτέρα ἐστὶν ἐν τῷ ποιοῦντι ἐξ ὑποσχέσεως, κατὰ τὸ χαίρειν μείζονι ἀρετῇ, τῇ τῶν φιλοσοφούντων δηλαδὴ τάξει, καὶ εἰ μὴ οὕτω τῇ σωφροσύνῃ ἢ τῇ νηστείᾳ χαίροι.

Ἔτι, ὁ σὺν εὐχῇ ποιῶν τὸ ἀγαθὸν οὐ μόνον τὸ ἀγαθὸν τῆς πράξεως, ἀλλὰ καὶ τὴν δύναμιν τῷ Θεῷ προσφέρει, καὶ τὴν πρόθεσιν ἐπί τι μεῖζον δείκνυσιν οὖσαν αὐτῷ, τῷ Θεῷ δοθῆναι ὀφεῖλον. Ἔστι τοίνυν ἡ ἐνέργεια αὐτοῦ ἀρετῆς ἐγγυτέρω τῷ λόγῳ τοῦ μείζονος ἀγαθοῦ ὃ ἐσκόπει, εἰ καὶ ἐν τῷ πράττειν τις μὴ εὐξάμενος θερμότερος αὐτοῦ εἴη.

Ἔτι, φανερόν, ὡς ὁ ὑπισχνούμενός τι ποιήσειν, σφοδρότερον προαιρεῖται τοῦ ἁπλῶς ἑαυτὸν πρὸς τὸ ποιῆσαι μόνον διατιθέντος, ἐπεί, οὐ μόνον ποιῆσαι ἠθέλησεν, ἀλλὰ καὶ βεβαιώσειν ἠθέλησεν ἑαυτὸν ὥστε μὴ τοῦ ποιεῖν ἀποστῆναι. Ἐκ τοῦ σκοποῦ τοίνυν τῆς βουλήσεως ταύτης γίνεται καὶ ἡ ἀποπλήρωσις τοῦ ὑπεσχημένου μετά τινος ἐπαινετοῦ σκοποῦ, καὶ ὅταν ἡ θέλησις ἢ οὐ φέρηται ἐνεργείᾳ ἐπὶ τὸ ἔργον, ἢ φέρηται μέν, ἀνειμένως δέ· οὕτω τοίνυν ἀξιεπαινετώτερόν ἐστι μετ' εὐχῆς τι γίνεσθαι ἢ ἄνευ εὐχῆς, τῶν ἄλλων μέντοι ὁμοίων ὑποκειμένων.

## CXXXIX. — Ὅτι οὔτε αἱ τῶν ἀρετῶν πράξεις, οὔτε τὰ ἁμαρτήματα ὅμοιά εἰσιν.

Ἐπειδὴ γὰρ αἱ ἐνέργειαι τὸ εἶδος ἐκ τῶν ἀντικειμένων λαμβάνουσιν, ὅσῳ τὸ ἀντικείμενον βέλτιόν ἐστι, τοσούτῳ καὶ ἡ ἐνέργεια ἐναρετωτέρα κατὰ τὸ εἶδος αὐτῆς· τῶν δὲ πρὸς τὸ τέλος βέλτιον τὸ τέλος, καὶ τῶν πορρωτέρω αὐτοῦ, τὰ ἐγγύτερον αὐτοῦ. Τὸ ἄρα ἀμέσως φερόμενον ἔργον τοῦ ἀνθρώπου πρὸς τὸν Θεόν, πρῶτον· εἶτα τῶν ἄλλων ἐνεργειῶν βελτίων ἧς τὸ ἀντικείμενον ἐγγύτερον τῷ Θεῷ, καὶ ἑξῆς ὁμοίως.

Ἔτι, εἰ τὸ ἐν ταῖς ἀνθρωπίναις ἐνεργείαις ἀγαθόν ἐστι καθόσον ὑπὸ τοῦ λόγου ὁρίζεται, αἱ τοῦ λόγου ἐνέργειαι ὑψηλότεραι, ὅτι αὗται πρῶται τοῦ λόγου μετέχουσιν, | εἶτα αἱ τῶν ταπεινοτέρων δυνάμεων, αἷς ὁ λόγος f. 125v
ἐπιτάττει.

Ἔτι, εἰ αἱ τοῦ νόμου ἐντολαὶ μετὰ ἀγάπης ἀποπληροῦνται, τὸ μετὰ μείζονος ἀγάπης γινόμενον, μείζονος ἀρετῆς. Διὰ τοῦτο καὶ ἐν τῇ πρὸς Κορινθίους ὁ Ἀπόστολος· „Ὁ γάμῳ, φησί, συνάπτων τὰς ἑαυτοῦ παρθένους καλῶς ποιεῖ· ὁ δὲ μὴ συνάπτων κάλλιον ποιεῖ". Ὁμοίως καὶ ἡ τῶν ἁμαρτημάτων διαφορὰ δήλη· δι' ἑνὸς γὰρ μᾶλλον ἀφίσταταί τις τοῦ τέλους

36 I Cor. 7, 38

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἢ δι' ἄλλου, καὶ μᾶλλον ἡ τοῦ λόγου διαστρέφεται τάξις, καὶ μείζονα βλάβην τῷ πλησίον ἐπάγει· καὶ διὰ τοῦτο ἐν τῷ Ἰεζεκιὴλ λέγεται· „Ἀνοσιώτερον ἐποίησαν ἐν πάσαις ταῖς ὁδοῖς σου".

Ἀποσκορακίζεται ἐντεῦθεν καὶ ἡ αἵρεσις τῶν λεγόντων πάσας τὰς ἀρετὰς καὶ τὰς ἁμαρτίας ὁμοίας εἶναι, καθ' ὧν εἰδέναι δεῖ, ὅτι ἐν πᾶσιν ὧν τὸ τέλειον καὶ τὸ ἀγαθὸν ἔν τινι συμμέτρῳ συνίσταται, τὸ μᾶλλον ἀφιστάμενον τῆς συμμετρίας κακὸν καὶ μεῖζόν ἐστιν, ὥσπερ ἡ μείζων ἀνισότης τῶν χυμῶν μείζων νόσος ἐστίν, ἢ μείζω νόσον ποιεῖ, τῆς ὑγιείας ἐν συμμετρίᾳ χυμῶν τῇ πρεπούσῃ συνισταμένης· καὶ τῇ μείζονι ἐν τοῖς μέλεσιν ἀταξίᾳ μεῖζον τὸ αἶσχος, τοῦ κάλλους ἐν τῇ πρεπούσῃ τῶν μελῶν ὄντος ἀναλογίᾳ· καὶ τῇ μείζονι ἀποχωρήσει τῆς ἀληθείας μεῖζον τὸ ψεῦδός ἐστιν, τῆς ἀληθείας ἐν τῇ πρὸς τὸ πρᾶγμα συμμετρίας τοῦ νοῦ ἢ τοῦ λόγου συνισταμένης. Οὕτω καὶ τῆς ἀρετῆς τοῦ ἀγαθοῦ ἔν τινι συμμετρίᾳ συνισταμένου καὶ μεσότητι, ὃ δὴ μέσον κατὰ τὴν προσήκουσαν ἀποπεράτωσιν τῶν περιστάσεων μεταξὺ τῶν ἐναντίων παθῶν συνίσταται, ὅσῳ τῆς ἁρμονίας ταύτης ἀποχωρεῖ τι, τοσούτῳ καὶ ἡ πονηρία μείζων ἐστίν. Εἰ δὲ κολάζονταί τινες ὁμοίως ἐν πλείονι καὶ ἐλάττονι, ὑπερβαίνοντες τὸν ὅρον τοῦ δικαστοῦ, οὐδὲν θαυμαστόν. Ἡ μὲν γὰρ ἀρετὴ καθ' αὑτό ἐστιν ἀγαθόν, καὶ ἡ ταύτης παράβασις, καθ' αὑτὸ κακόν, καὶ διὰ τοῦτο τὸ μᾶλλον ἀφιστάμενον τῆς ἀρετῆς καὶ μᾶλλον κακόν ἐστιν· τὸ δὲ ὑπερβῆναι τὸν δικαστικὸν ὅρον κατὰ συμβεβηκός ἐστι κακόν, καθόσον δηλαδὴ κεκώλυται. Ἐν δὲ τοῖς κατὰ συμβεβηκὸς οὐκ ἀνάγκη, εἰ τὸ ἁπλῶς ἕπεται τῷ ἁπλῶς, καὶ τὸ μᾶλλον τῷ μᾶλλον ἕπεσθαι· οὐ γάρ, εἰ τὸ λευκόν ἐστι μουσικόν, καὶ τὸ μᾶλλον λευκὸν μᾶλλόν ἐστι μουσικόν· ἕπεται δέ, εἰ τὸ
f. 126 λευκὸν διακριτικόν ἐστιν ὄψεως, | καὶ τὸ μᾶλλον λευκὸν μᾶλλον εἶναι διακριτικὸν ὄψεως.

Δεῖ δὲ καὶ τοῦτο σκοπεῖν, ὅτι τὸ μέν ἐστι πρὸς θάνατον ἁμάρτημα, τὸ δὲ συγγνωστόν· Καὶ πρὸς θάνατον μέν ἐστι τὸ στεροῦν τὴν ψυχὴν τῆς πνευματικῆς ζωῆς, ἧς δὴ ζωῆς ὁ λόγος ἐκ τῶν δύο τούτων ληφθῆναι δύναται κατὰ τὴν τῆς φυσικῆς ζωῆς ὁμοιότητα· ζῇ γὰρ τὸ σῶμα φυσικῶς, καθόσον ἑνοῦται τῇ ψυχῇ, ἥτις ἀρχὴ ζωῆς ἐστι τούτου. Τὸ δὲ διὰ ψυχῆς ζωοποιηθὲν σῶμα κινεῖται ἐξ ἑαυτοῦ· τὸ δὲ νεκρὸν ἀκίνητον μένει, ἢ ἔξωθεν μόνον κινεῖται. Οὕτω τοίνυν καὶ ἡ ψυχὴ τοῦ ἀνθρώπου, τῆς βουλήσεως αὐτῆς μετ' ὀρθοῦ σκοποῦ τῷ ἐσχάτῳ τέλει συναπτομένης, ὅπερ ἐστὶ αὐτῆς ἀντικείμενον, καί τινα τρόπον εἶδος ζῶσά ἐστι, καὶ δι' ἀγάπης τῷ Θεῷ καὶ τῷ πλησίον συναπτομένη, ὑπὸ τῆς ἔνδοθεν ἀρχῆς κινεῖται πρὸς τὸ ποιεῖν· τοῦ δὲ ὀρθοῦ σκοποῦ τοῦ πρὸς τὸ ἔσχατον τέλος καὶ τῆς ἀγάπης μετακεκινημένη, ὥσπερ νεκρὰ γίνεται, ὅτι μὴ ἐξ ἑαυτῆς κινεῖται

---

3 **Ezech. 16, 47**

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

πρὸς τὸ τὰ ἀγαθὰ ποιεῖν, ἀλλ' ἢ παντάπασιν ἀφίσταται τοῦ ποιεῖν, ἢ μόνον ἐνάγεται ἔξωθεν πρὸς τὸ ποιεῖν αὐτά. Τὰ τοίνυν τῷ σκοπῷ τοῦ ἐσχάτου τέλους καὶ τῇ ἀγάπῃ ἐναντιούμενα ἁμαρτήματα θανάσιμα εἰσίν. Εἰ δὲ τούτων σῳζομένων, τῆς ὀρθῆς τοῦ λόγου τάξεως ἔν τινί τις παρατρέποιτο, οὐκ ἔσται θανάσιμον ἁμάρτημα, ἀλλὰ τὸ λεγόμενον ἄξιον συγγνώμης.

## CXL. — Ὅτι τὰς ἀνθρωπίνας πράξεις ἢ ἀμείβεται ἢ κολάζει ὁ Θεός.

Οἱ γὰρ νομοθέται διὰ τῶν τιμωριῶν ἢ ἀμοιβῶν τὴν τῶν νόμων πράττουσι φυλακήν· τῇ δὲ θείᾳ προνοίᾳ προσήκει νομοθετεῖν τοῖς ἀνθρώποις, ὡς δέδεικται.

Ἔτι, οἱ διὰ τῆς θείας χωροῦντες τάξεως τοῦ τέλους τυγχάνουσιν, ὅπερ ἀμοιβῆς ἔχει λόγον· οἱ δὲ τῆς τάξεως ἀποχωροῦντες τοῦ τέλους τοῦ ἀγαθοῦ ἀποκλείονται διὰ τῆς ἁμαρτίας, ὅ ἐστι τὸ κολάζεσθαι.

Ἔτι, οὐ μόνον ἐν τῷ μέλλοντι βίῳ ἀναγκαία ἡ ἀμοιβὴ καὶ ἡ τιμωρία τοῖς ὑποτάξασι τὴν ἑαυτῶν βούλησιν τῷ Θεῷ, ἢ προτιμήσασι τὴν ἰδίαν ὄρεξιν τῆς θείας βουλήσεως· διὸ καὶ προτίθησιν ἐντεῦθεν ὁ Θεὸς τὰ ἀγαθὰ τοῖς ἀνθρώποις εἰς ἀμοιβήν, ἵνα ἡ θέλησις αὐτῶν κινῆται πρὸς τὸ πράττειν ὀρθῶς, καὶ τὰ κακὰ εἰς τιμωρίαν, ἵνα ἐκφύγῃ τὸ ἄτακτον, ἀλλὰ καὶ ἐν τῷδε τῷ βίῳ τῷ ἐνεργεῖσθαι | τὴν θείαν δικαιοσύνην ἐν ταῖς f. 126v
ἀμοιβαῖς καὶ ταῖς τιμωρίαις, διεγείρονται μὲν οἱ ἄνθρωποι πρὸς τὸ εὖ ποιεῖν, διὰ τῶν ἀμοιβῶν τῶν καλῶς ποιούντων, ἀπέχουσι δὲ τοῦ κακῶς ποιεῖν, ὁρῶντες ἐνταῦθα τὴν τιμωρίαν τῶν πονηρῶν.

Ἐντεῦθέν ἐστι τὸ ἐν τῇ Ἐξόδῳ· „Ἐγὼ εἰμὶ Κύριος ὁ Θεός σου, ἐπισκεπτόμενος ἁμαρτίαν πατέρων ἐπὶ τέκνα, καὶ ποιῶν ἔλεος τοῖς ἀγαπῶσί με καὶ ποιοῦσι τὰς ἐντολάς μου"· καὶ ἐν Ψαλμοῖς· „Σὺ ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ"· καὶ ἐν τῇ πρὸς Ῥωμαίους· „Ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ", καὶ τὰ ἑξῆς. Μαρκίων δὲ καὶ Βαλεντῖνος ἄλλον εἶναι δίκαιον Θεὸν τὸν τιμωρούμενον ἔλεγε παρὰ τὸν ἀγαθὸν Θεόν.

## CXLI. — Περὶ τῆς τάξεως καὶ διαφορᾶς τῶν κολάσεων.

Ὅτι μεγίστη τιμωρία τῷ ἀνθρώπῳ τὸ τῆς μακαριότητος ἀποκλεισθῆναι, μετὰ δὲ τοῦτο ἀρετῆς στερηθῆναι καὶ τῆς πρὸς τὸ εὖ ποιεῖν τελειώσεως ἑκάστης τῶν φυσικῶν δυνάμεων τῆς ψυχῆς· εἶτα, ἡ τῶν φυσικῶν δυνάμεων τῆς ψυχῆς ἀταξία· μετὰ δὲ τοῦτο ἡ τοῦ σώματος βλάβη, καὶ ἐπὶ τούτοις ἡ τῶν ἔξωθεν ἀγαθῶν ἀποβολή. Οἱ δὲ ἄνθρωποι, διὰ τὸ διαφόρως διακεῖσθαι αὐτοὺς πρὸς τὴν θέλησιν τοῦ ἀγαθοῦ ἢ κακοῦ, τὰ ἐναντία τῇ θελήσει αὐτῶν μείζω καὶ φοβερώτερα κρίνουσιν, εἰ καὶ ἐλάττω

24 Ex. 20, 5-6   26 Ps. 61, 13   27 Rom. 2, 6-8

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006